ἐπεύχομαι ὧδε,
αἱμάσσοντας μήλοισιν
ἑστίας θεῶν,
ταυροκτονοῦντας θεοῖσιν
θήσειν
ἁγνοῖς δόμοις
τρόπαια,
ἐσθήματα δὲ πολεμίων,

ÉTÉOCLE. Si tu accordais
une grâce facile à moi *te-la*-demandant!
LE CHOEUR. Tu peux parler
au-plus-vite,
et vite je saurai *ce que tu veux*.
ÉTÉOCLE. Tais-toi, ô malheureuse!
n'effraie pas des amis.
LE CHOEUR. Je me tais; je subirai
avec d'autres l'arrêt-du-destin.
ÉTÉOCLE. Je préfère
cette parole-ci de toi
au lieu de celles-là d'*avant*.
Et certes outre ces-choses,
te-tenant loin de *ces* statues,
demande ce-qui-vaut-mieux,
les dieux être *nos* alliés :
et ayant entendu mes prières,
toi ensuite entonne
un cantique saint favorable,
mode grec des cris
qui-accompagnent-les-sacrifices,
encouragement aux amis,
*t'*affranchissant
de la crainte des-ennemis.
Quant-à-moi, aux dieux
protecteurs du pays,
et habitants-de-*nos*-plaines,
et surveillants de la place-publique,
et aux sources de Dircé,
et je n'excepte pas *celle* d'Isménus,
nos affaires allant bien,
et la ville étant sauvée,
je-fais-vœu ainsi,
*qu'*ensanglantant de brebis
les foyers *des autels* des dieux,
immolant-des-taureaux aux dieux,
nous placerons
dans *leurs* saintes demeures
des trophées
et des vêtements d'ennemis,

λάφυρα δαΐων δουρύπληχθ' ἁγνοῖς δόμοις.
Τοιαῦτ' ἐπεύχου μὴ φιλοστόνως θεοῖς,
μηδ' ἐν ματαίοις χἀγρίοις ποιφύγμασιν· 265
οὐ γάρ τι μᾶλλον μὴ φύγῃς τὸ μόρσιμον.
Ἐγὼ δέ γ' [1] ἄνδρας ἓξ, ἐμοὶ ξὺν ἑβδόμῳ,
ἀντηρέτας ἐχθροῖσι τὸν μέγαν τρόπον
εἰς ἑπτατειχεῖς ἐξόδους τάξω μολὼν,
πρὶν ἀγγέλους σπερχνούς τε καὶ ταχυῤῥόθους 270
λόγους ἱκέσθαι, καὶ φλέγειν χρείας ὕπο.

ΧΟΡΟΣ.

(Στροφὴ α'.)

Μέλει, φόβῳ δ' οὐχ ὑπνώσσει κέαρ·
γείτονες δὲ καρδίας μέριμναι
ζωπυροῦσι τάρβος,
τὸν ἀμφιτειχῆ λεών· 275
δράκοντα δ' ὥς τις τέκνων
ὑπερδέδοικα [2] λεχέ-
ων δυσευνήτειρα [3]
πάντρομος πελειάς.
Τοὶ μὲν γὰρ ποτὶ πύργους 280
πανδημεὶ, πανομιλεὶ
στείχουσιν. Τί γένωμαι;
τοὶ δ' ἐπ' ἀμφιβόλοισιν
ἰάπτουσι πολίταις
χερμάδ' ὀχριόεσσαν. 285
Παντὶ τρόπῳ, Διογενεῖς
θεοὶ, πόλιν καὶ στρατὸν
Καδμογενῆ ῥύεσθε.

gémir, sans pousser des cris vains et sauvages, qui ne vous sauveraient pas du destin. Cependant je vais, moi septième, avec six guerriers, dignes adversaires de nos ennemis, pourvoir à la défense des sept portes, avant qu'un danger trop pressant nous apporte avis sur avis, nouvelles sur nouvelles.

LE CHOEUR. J'obéis, mais la crainte empêche mon cœur de se calmer. Toujours présente, l'idée de l'ennemi entourant nos remparts réveille la terreur dans mon âme. Ainsi la faible colombe, inquiète habitante d'un nid malheureux, craint le serpent pour ses petits. Toute une armée, tout un peuple marche contre nos murs. Que deviendrai-je? une grêle de pierres tombe de toutes parts sur nos soldats. O dieux, enfants de Jupiter, par tous les moyens sauvez la ville et le peuple de Cadmus!

λάφυρα δαΐων	dépouilles d'adversaires
δουρύπληκτα.	prises-par-la-lance.
Ἐπεύχου τοιαῦτα θεοῖς	Fais-de telles-prières aux dieux
μὴ φιλοστόνως,	sans-excès-de-gémissements,
μηδὲ ἐν ποιφύγμασιν	et sans lamentations
ματαίοις καὶ ἀγρίοις·	vaines et sauvages :
οὐ γὰρ	car *il n'est pas que*
φύγῃς τι μᾶλλον	tu évites davantage
τὸ μόρσιμον.	l'arrêt-du-destin.
Ἐγὼ δέ γε μολὼν	Pour-moi certes étant allé
εἰς ἐξόδους ἑπτατειχεῖς	aux sept-issues-des-murs,
τάξω ἓξ ἄνδρας,	je placerai six hommes,
ξὺν ἐμοὶ ἑβδόμῳ,	avec moi septième,
ἀντηρέτας ἐχθροῖσι	pour adversaires aux ennemis
τὸν μέγαν τρόπον,	de la grande manière,
πρὶν ἀγγέλους τε σπερχνοὺς	avant que des nouvelles rapides
καὶ λόγους ταχυῤῥόθους	et des rumeurs circulant-vite
ἱκέσθαι, καὶ φλέγειν	*n'*arrivent, et *ne* prennent-feu
ὑπὸ χρείας.	par la nécessité.
ΧΟΡΟΣ.	LE CHOEUR.
Μέλει,	*Tes paroles me*-sont-à-soin,
φόβῳ δὲ κέαρ οὐχ ὑπνωσσει	mais *mon* cœur ne-s'assoupit-point ;
μέριμναι δὲ γείτονες καρδίας	et les peines habitantes de l'âme
ζωπυροῦσι τάρβος,	ravivent *ma* terreur,
τὸν λεὼν	*dont la cause est* le peuple
ἀμφιτειχῆ·	qui-entoure-*nos*-murs :
δέδοικα δὲ,	et je redoute l'*ennemi pour la ville,*
ὡς ὑπὲρ τέκνων τὶς πελειὰς	comme pour *ses* petits une colombe
δυσευνήτειρα λεχέων	mal couchée dans-sa-couche,
πάντρομος δράκοντα.	toute-tremblante *redoute* un serpent.
Τοὶ μὲν γὰρ στείχουσιν	Car ils s'avancent
ποτὶ πύργους	vers les tours
πανδημεὶ, πανομιλεί.	en-masse, tous ensemble.
Τί γένωμαι ;	Que vais-je devenir ?
Τοὶ δὲ ἰάπτουσιν	Puis ils lancent
ἐπὶ πολίταις ἀμφιβόλοισιν	sur les citoyens atteints-de-tous-côtés
ὀκριόεσσαν χερμάδα.	une rude grêle-de-pierres.
Παντὶ τρόπῳ,	Par tout moyen,
θεοὶ Διογενεῖς, ῥύεσθε πόλιν	dieux issus-de-Jupiter, sauvez la ville
καὶ στρατὸν Καδμογενῆ.	et l'armée qui-descend-de-Cadmus.

(Ἀντιστροφὴ α'.)

Ποῖον δ' ἀμείψεσθε γαίας πέδον
τᾶσδ' ἄρειον; ἐχθροῖς ἀφέντες 290
τὰν βαθύχθον' αἶαν,
ὕδωρ τε Διρκαῖον εὐ-
τραφέστατον πωμάτων,
ὅσων ἵησι Ποσει-
δᾶν ὁ γαιάοχος, 295
Τηθύος [1] τε παῖδες.
Πρὸς τάδ', ὦ πολιοῦχοι
θεοὶ, τοῖσι μὲν ἔξω
πύργων ἀνδρολέτειραν
καὶ τὰν ῥίψοπλον ἄταν 300
ἐμβαλόντες, ἄροισθε
κῦδος τοῖσδε πολίταις,
καὶ πόλεως ῥύτορες
εὔεδροί τε στάθητ'
ὀξυγόοις λιταῖσιν. 305

(Στροφὴ β'.)

Οἰκτρὸν γὰρ, πόλιν ὧδ' ὠγυγίαν
Ἀΐδᾳ προϊάψαι, δορὸς ἄγραν
δουλίαν, ψαφαρᾷ σποδῷ,
ὑπ' ἀνδρὸς Ἀχαιοῦ θεόθεν
περθομέναν ἀτίμως, 310
τὰς δὲ χειρωμένας ἄγεσθαι
(Ἔ ἔ ἔ!) νέας τε καὶ παλαιὰς
ἱππηδὸν πλοκάμων,
περιῤῥηγνυμένων [2] φαρέων.

Quelle contrée meilleure irez-vous habiter, si vous livrez à l'ennemi cette terre fertile et les eaux de Dircé, Dircé, la plus salubre des sources qu'épanchent sur le sol et le dieu qui entoure la terre et les enfants de Téthys? Dieux tutélaires de cette ville! envoyez hors de ces murs, à ceux qui les assiégent, l'effroi qui fait jeter les armes, l'effroi qui tue les hommes; prenez en main l'honneur de ce peuple, et sauveurs de cette cité, restez ici à jamais fixés dans vos temples, au gré de nos plaintives prières.

Affreux spectacle, s'il faut voir cette ville antique descendre au tombeau! s'il faut la voir esclave, proie de la lance, réduite en cendres, honteusement abandonnée par les dieux aux ravages de l'Achéen! Et les femmes, hélas! hélas! jeunes et vieilles, entraînées

Ποῖον δὲ πέδον	Mais quel sol
ἄρειον τᾶσδε γᾶς	meilleur que-cette-terre-ci
ἀμείψετε ;	prendrez-vous-en-échange ?
ἀφέντες ἐχθροῖς	ayant abandonné aux ennemis
τὰν αἶαν βαθύχθονα,	*cette* terre au-sein-profond,
ὕδωρ τε Διρκαῖον	et l'eau de-Dircé,
εὐτραφέστατον	la-plus-nourrissante
πωμάτων,	des boissons,
ὅσων ἵησι	*toutes-celles* que verse
Ποσειδᾶν	Neptune
ὁ γαιάοχος,	qui-enveloppe-la-terre,
παῖδές τε Τηθύος.	et *que versent* les fils de Téthys.
Πρὸς τάδε,	Sur ce *à mes prières*,
ὦ θεοὶ πολιοῦχοι,	ô dieux gardiens de la ville,
ἐμβαλόντες μὲν	ayant envoyé
τοῖσιν ἔξω πύργων	à ceux d'en-dehors des tours
τὰν ἄταν	le mal
ἀνδρολέτειραν	qui-tue-les-hommes
καὶ ῥίψοπλον,	et qui-fait-jeter-les-armes,
ἄροισθε κῦδος	procurez de la gloire
τοῖσδε πολίταις,	à ces citoyens-ci,
καὶ στάθητε	et maintenez-vous
ῥύτορες πόλεως	sauveurs de la ville
εὔεδροί τε	et bien-établis-dans-vos-temples
λιταῖσιν ὀξυγόοις.	*par suite de nos* prières gémissantes.
Οἰκτρὸν γὰρ,	Car *ce serait* digne-de-pitié
προϊάψαι Ἀΐδᾳ	de précipiter chez Pluton
πόλιν ὧδε ὠγυγίαν,	une ville ainsi ancienne,
ἄγραν δουλίαν δορὸς,	proie esclave de la lance,
σποδῷ ψαφαρᾷ,	*réduite* en cendre légère,
περθομέναν ἀτίμως	saccagée outrageusement
ὑπὸ ἀνδρὸς Ἀχαιοῦ	par un homme achéen
θεόθεν,	avec-la-volonté-des-dieux,
τὰς δὲ νέας τε καὶ παλαιὰς	et *aussi* jeunes et vieilles
(Ἔ ἔ ἔ!)	(hélas! hélas! hélas!)
ἄγεσθαι κεχειρωμένας	être-emmenées captives
πλοκάμων	par les boucles-de-*leurs*-cheveux,
ἱππηδὸν,	à-la-manière-des chevaux
φαρέων	*leurs* voiles
περιῤῥηγνυμένων.	étant mis-en-lambeaux.

Βοᾷ δ' ἐκκενουμένα πόλις, 315
λαΐδος ὀλλυμένας μιξοθρόου.
Βαρείας τοι τύχας προταρβῶ.

(Ἀντιστροφὴ β'.)

Κλαυτὸν δ' ἀρτιτρόποις, ὠμοδρόπων
νομίμων προπάροιθεν, διαμεῖψαι[1]
δωμάτων στυγερὰν ὁδόν. 320
Τί; τὸν φθίμενον γὰρ προλέγω
βέλτερα τῶνδε πράσσειν.
Πολλὰ γὰρ εὖτ' ἂν πόλις δαμασθῇ,
(ἔ ἔ ἔ!) δυστυχῆ τε πράσσει·
ἄλλος δ' ἄλλον ἄγει, 325
φονεύει, τὰ δὲ καὶ πυρφορεῖ·
καπνῷ χραίνεται πόλισμ' ἅπαν.
Μαινόμενος δ' ἐπιπνεῖ λαοδάμας
μιαίνων εὐσέβειαν Ἄρης.

(Στροφὴ γ'.)

Κορκορυγαὶ δ' ἀν' ἄστυ, 330
ποτὶ πτόλιν δ' ὀρκάνα πυργῶτις.
Πρὸς ἀνδρὸς δ' ἀνὴρ δορὶ καίνεται·
βλαχαὶ δ' αἱματόεσσαι
τῶν ἐπιμαστιδίων
ἀρτιβρεφεῖς βρεμόνται· 335
ἁρπαγαὶ δὲ διαδρομᾶν δμαίμονες
Ξυμβολεῖ φέρων φέροντι,
καὶ κενὸς κενὸν καλεῖ,

comme des troupeaux, liées par les cheveux, et leurs voiles arrachés! La ville alors est un désert, d'où s'élèvent les cris confus des captifs qu'on égorge.

Triste sort pour des vierges, tendres fleurs à peine écloses, de se voir, avant l'hymen qui a le droit de les cueillir, transplantées par une main odieuse dans un sol étranger! Ah! mourir, oui, mourir auparavant est cent fois préférable. Car ils sont infinis, hélas! les maux qu'éprouve une ville conquise; partout c'est l'esclavage, ou le meurtre, ou l'incendie; la fumée la couvre tout entière; le destructeur des peuples, Mars y souffle la rage, et souille toute piété.

Dans la ville, un sourd frémissement; autour de la ville, une enceinte de tours... L'homme est massacré par l'homme; l'enfant qui vient de naître, expire en poussant des cris inarticulés sur le sein qui le nourrit et qu'il tache de son sang; puis des courses en tous sens, courses compagnes du pillage; on se rencontre, les uns chargés de dépouilles, les autres, les mains vides; on s'appelle, chacun veut sa

Πόλις δὲ ἐκκενουμένα	Puis la ville se-vidant
βοᾷ, λαῖδος	crie, le butin (*les captifs*)
ὀλλυμένας μιξοθρόου.	périssant au-milieu-de-cris-confus.
Τοὶ προταρβῶ	Certes je redoute-à-l'avance
βαρείας τύχας.	de funestes chances-du-sort.
Κλαυτὸν δὲ	Et *il serait* digne-de-larmes
ἀρτιτρόποις,	pour des *vierges* à-peine-formées,
διαμεῖψαι	de prendre en-échange
δωμάτων	de-*leurs*-demeures
στυγερὰν ὁδὸν,	une odieuse route,
προπάροιθεν νομίμων	avant l'*hymen*-légitime
ὠμοδρόπων.	qui-cueille-les-fruits-encore-verts.
Τί; προλέγω γὰρ	Quoi ! je soutiens en-effet
τὸν φθίμενον	celui-qui-est-mort
πράσσειν βέλτερα	être-plus-heureux
τῶνδε.	que-ceux *dont je viens de parler*.
Εὖτε γὰρ πόλις	Car lorsque une ville
ἂν δαμασθῇ,	vient-à-être-conquise,
(ἔ ἔ ἔ !) πράσσει	(hélas ! hélas ! hélas !) *elle* éprouve
πολλὰ δυστυχῆ τε·	des *maux* nombreux et terribles ;
ἄλλος δὲ ἄγει ἄλλον,	l'un entraîne l'autre,
φονεύει, τὰ δὲ καὶ	*l'*égorge, et d'un-autre-côté aussi
πυρφορεῖ· πόλισμα ἅπαν	met le feu : la ville entière
χραίνεται καπνῷ.	est souillée de fumée.
Ἄρης δὲ λαοδάμας	Puis Mars qui-dompte-les-peuples,
μιαίνων εὐσέβειαν	souillant la piété
ἐπιπνεῖ μαινόμενος.	souffle furieux.
Κορκορυγαὶ δὲ	Et des grondements
ἀνὰ ἄστυ,	*montent* dans la ville,
ποτὶ πτόλιν δὲ	et vers ses-remparts *s'élève*
ὀρκάνα πυργῶτις.	une enceinte-de-tours *ennemies*.
Ἀνὴρ δὲ καίνεται	Puis l'homme est tué
πρὸς ἀνδρὸς δορί·	par l'homme avec la lance ;
βλαχαὶ δὲ αἱματόεσσαι	et des vagissements sanglants
ἀρτιβρεφεῖς ἐπιμαστιδίων	nouveau-nés d'enfants-à-la-mamelle
βρέμονται· ἁρπαγαὶ δὲ	frémissent ; et des rapines
ὁμαίμονες διαδρομᾶν.	sœurs de courses-errantes *ont lieu*.
Φέρων	Celui-qui-porte
ξυμβολεῖ φέροντι,	rencontre celui-qui-porte,
καὶ κενὸς καλεῖ κενὸν,	et qui-n'a-rien appelle qui-n'a-rien,

ξύννομον θέλων ἔχειν,
οὔτε μεῖον, οὔτ' ἴσον λελιμμένοι. 340
Τίν' ἐκ τῶνδ' εἰκάσαι λόγος πάρα;

(Ἀντιστροφὴ γ')

Παντοδαπὸς δὲ καρπὸς
χαμάδις πεσὼν ἀλγύνει κυρήσας.
Πικρὸν δ' ὄμμα τῶν θαλαμηπόλων
πολλὰ δ' ἀκριτόφυρτος 345
γᾶς δόσις οὐτιδανοῖς
ἐν βοθίοις φορεῖται.
Δμωΐδες δὲ καινοπήμονες νέαι,
τλήμον' [1] εὐνὰν αἰχμάλωτον
ἀνδρὸς εὐτυχοῦντος, ὡς 350
δυσμενοῦς ὑπερτέρου.
Ἐλπίς ἐστι νύκτερον τέλος μολεῖν,
παγκλαύτων ἀλγέων ἐπίβροθον.

ΗΜΙΧΟΡΙΟΝ α.

Ὅ τοι κατόπτης, ὡς ἐμοὶ δοκεῖ, στρατοῦ
πευθώ τιν' ἡμῖν, ὦ φίλαι, νέαν φέρει, 355
σπουδῇ διώκων πομπίμους χνόας ποδῶν.

ΗΜΙΧΟΡΙΟΝ β.

Καὶ μὴν ἄναξ ὅδ' αὐτὸς Οἰδίπου τόκος
εἶσ' ἀρτίκολλον ἀγγέλου λόγον μαθεῖν·
σπουδὴ δὲ καὶ τοῦδ' οὐ καταρτίζει [2] πόδα.

ΑΓΓΕΛΟΣ.

Λέγοιμ' ἄν, εἰδὼς εὖ, τὰ τῶν ἐναντίων, 360
ὡς τ' ἐν πύλαις ἕκαστος εἴληχεν πάλον.

part de butin, et chacun la veut plus forte que les autres. A quoi faut-il donc s'attendre après ces tristes scènes?

On voit avec douleur les rues jonchées de fruits de toute espèce...; aux yeux attristés des ménagères, tous les dons de la terre roulent pêle-mêle dans la fange. De jeunes filles, qu'un autre sort attendait, se voient tout à coup forcées de partager comme esclaves la couche d'un vainqueur heureux, d'un ennemi triomphant. Ah! que la nuit de la mort me préserve de ces maux déplorables!

PREMIER DEMI-CHOEUR. Amies, si je ne me trompe, l'espion nous apporte des nouvelles de l'armée; il se hâte et précipite ses pas.

SECOND DEMI-CHOEUR. Voici de son côté le roi lui-même, le fils d'Œdipe, qui vient entendre le nouveau rapport de l'envoyé, et sa marche n'est pas moins précipitée.

L'ENVOYÉ. Je peux te faire un rapport fidèle sur les dispositions des ennemis et te dire ce que le sort a décidé pour l'attaque des por-

θέλων ἔχειν ξύννομον,	voulant avoir un compagnon,
λελιμμένοι	désirant *tous*
οὔτε μεῖον, οὔτε ἴσον.	ni moindre, ni égale *part.*
Τίνα ἐκ τῶνδε	Quelles-choses d'après celles-ci
λόγος πάρα εἰκάσαι;	raison est-il de conjecturer?
Καρπὸς δὲ παντοδαπὸς	Puis des fruits de-toute-sorte
πεσὼν χαμάδις	tombés à terre
ἀλγύνει κυρήσας.	affligent s'étant rencontrés.
Ὄμμα δὲ τῶν θαλαμηπόλων	Et le regard des ménagères
πικρόν· δόσις δὲ γᾶς	*est* amer : car les dons de la terre
πολλὰ ἀκριτόφυρτος	nombreux entassés-confusément
φορεῖται	sont emportés
ἐν ῥοθίοις οὐτιδανοῖς.	dans des vagues-bruyantes inutiles.
Δμωΐδες δὲ νέαι	Puis des servantes jeunes,
καινοπήμονες	nouvellement-malheureuses,
εὐνὰν τλήμονα αἰχμάλωτον	*subissent* la couche infortunée captive
ἀνδρὸς εὐτυχοῦντος,	d'un homme favorisé-de-la-fortune,
ὡς δυσμενοῦς ὑπερτέρου.	comme d'un ennemi plus fort.
Ἐλπίς ἐστι	L'espoir est *à moi*
τέλος νύκτερον μολεῖν,	*que* la fin nocturne viendra,
ἐπίῤῥοθον ἀλγέων	préservatrice de douleurs
παγκλαύτων.	dignes-de-toutes-les-larmes.
ΗΜΙΧΟΡΙΟΝ α'. Ὁ κατόπτης τοι,	DEMI-CHOEUR Ier. L'espion certes,
ὡς δοκεῖ ἐμοί,	comme il semble à moi,
ὦ φίλαι, φέρει ἡμῖν	ô amies, apporte à nous
τινὰ πευθὼ νέαν στρατοῦ,	quelque nouvelle récente de l'armée,
διώκων σπουδῇ	poussant avec zèle
χνόας πομπίμους ποδῶν.	les moyeux conducteurs de *ses* pieds.
ΗΜΙΧΟΡΙΟΝ β'. Καὶ μὴν	DEMI-CHOEUR 2e. Et certes
ὅδε ἄναξ αὐτὸς τόκος Οἰδίπου	ce prince-ci lui-même fils d'OEdipe
εἶσι μαθεῖν	vient apprendre
λόγον ἀρτίκολλον ἀγγέλου·	le rapport nouveau de l'envoyé :
σπουδὴ δὲ οὐ καταρτίζει	et le zèle n'arrange-pas
πόδα καὶ τοῦδε.	le pied aussi de celui-ci.
ΑΓΓΕΛΟΣ. Λέγοιμι ἄν,	L'ENVOYÉ. Je dirai,
εἰδὼς εὖ, τὰ τῶν ἐναντίων,	sachant bien, les choses des ennemis,
ὥς τε ἕκαστος	et comme chacun d'*eux*
εἴληχε πάλον ἐν πύλαις.	a obtenu le jet *du-sort* aux portes.

Τυδεὺς[1] μὲν ἤδη πρὸς πύλαισι Προιτίσι[2]
βρέμει, πόρον δ' Ἰσμηνὸν οὐκ ἐᾷ περᾶν
ὁ μάντις[3]· οὐ γὰρ σφάγια γίγνεται καλά.
Τυδεὺς δὲ μαργῶν, καὶ μάχης λελιμμένος, 365
μεσημβριναῖς κλαγγαῖσιν ὡς δράκων, βοᾷ·
θείνει δ' ὀνείδει μάντιν Οἰκλείδην σοφὸν,
σαίνειν μόρον τε καὶ μάχην ἀψυχίᾳ·
τοιαῦτ' ἀϋτῶν, τρεῖς κατασκίους λόφους
σείει, κράνους χαίτωμ', ὑπ' ἀσπίδος δὲ τῷ 370
χαλκήλατοι κλάζουσι κώδωνες φόβον·
ἔχει δ' ὑπέρφρον σῆμ' ἐπ' ἀσπίδος τόδε,
φλέγονθ' ὑπ' ἄστροις οὐρανὸν τετυγμένον·
λαμπρὰ δὲ πανσέληνος ἐν μέσῳ σάκει,
πρέσβιστον ἄστρων, νυκτὸς ὀφθαλμὸς, πρέπει. 375
Τοιαῦτ' ἀλύων ταῖς ὑπερκόμποις σάγαις,
βοᾷ παρ' ὄχθαις ποταμίαις· μάχης δ' ἐρῶν[4]
ἵππος, χαλινῶν ὡς κατασθμαίνων, μένει,
ὅστις βοὴν σάλπιγγος ὁρμαίνοι κλύων.
Τίν' ἀντιτάξεις τῷδε; τίς Προίτου πυλῶν, 380
κλῆθρων λυθέντων, προστατεῖν φερέγγυος;

ΕΤΕΟΚΛΗΣ.

Κόσμον μὲν ἀνδρὸς οὔτιν' ἂν τρέσαιμ' ἐγὼ,

tes. Déjà Tydée se tient tout frémissant à la porte de Prœtus ; mais le devin lui défend encore de passer l'Isménus, car les auspices ne sont pas favorables. Furieux et brûlant de combattre, pareil au dragon qui siffle aux ardeurs de midi, Tydée insulte à grands cris au sage fils d'Oïclée, l'accusant de reculer par lâcheté devant le combat et la mort. Il secoue, en criant, trois aigrettes touffues qui flottent sur son casque, tandis que cent globes d'airain qui bordent son bouclier sonnent l'épouvante. Sur ce bouclier il porte un emblème fastueux : le ciel ciselé, tout resplendissant d'étoiles; au milieu brille l'œil de la nuit, la reine des astres, la lune dans tout son éclat. C'est ainsi que, fier de son armure, il crie et s'agite sur la rive de l'Isménus, appelant le combat. Tel un coursier fougueux, couvrant son frein d'écume, attend, prêt à s'élancer, le signal de la trompette. Quel guerrier lui opposeras-tu? Qui, dans l'assaut qu'il va donner, sera capable de lui résister?

ÉTÉOCLE. Aucune parure guerrière ne saurait m'effrayer; des

Τυδεὺς μὲν ἤδη βρέμει	Tydée d'abord déjà frémit
πρὸς πύλαισι Προιτίσιν,	vers les portes Prétides,
ὁ δὲ μάντις οὐκ ἐᾷ	mais le devin ne *le* laisse pas
περᾶν πόρον Ἰσμηνόν·	traverser le passage Isménus :
σφάγια γὰρ οὐ γίγνεται καλά.	car les victimes ne sont pas belles.
Τυδεὺς δὲ μαργῶν	Or Tydée furieux,
καὶ λελιμμένος μάχης,	et désirant-ardemment le combat,
βοᾷ, ὡς δράκων	crie, comme un dragon
κλαγγαῖσιν μεσημβριναῖς·	avec des sifflements de-midi :
θείνει δὲ ὀνείδει	et il pique de reproches
μάντιν σοφὸν Οἰκλείδην,	le devin sage fils-d'-Oïclée,
σαίνειν ἀψυχίᾳ	l'*accusant* de flatter par pusillanimité
μόρον τε καὶ μάχην·	et le destin et le combat :
ἀῦτῶν τοιαῦτα, σείει	criant de-telles-*injures*, il agite
λόφους κατασκίους,	des aigrettes qui-donnent-de-l'ombre,
χαίτωμα κράνους,	crinière de *son* casque,
ὑπὸ δὲ ἀσπίδος τῷ	et sous le bouclier à lui
κώδωνες χαλκήλατοι	des sonnettes faites-d'airain
κλάζουσι φόβον·	sonnent l'épouvante :
ἔχει δὲ ἐπὶ ἀσπίδος	et il a sur *son* bouclier
σῆμα τόδε ὑπέρφρον,	cet-emblème-ci insolent,
οὐρανὸν τετυγμένον	un ciel travaillé
φλέγοντα ὑπὸ ἄστροις·	brûlant d'astres ;
ἐν μέσῳ δὲ σάκει	et au milieu du bouclier
πανσέληνος λαμπρὰ,	la *lune* pleine-lune éclatante,
πρέσβιστον ἄστρων,	le-plus-auguste des astres,
ὀφθαλμὸς νυκτὸς, πρέπει.	l'œil de la nuit, brille.
Ἀλύων τοιαῦτα	S'agitant d'une-telle-manière
σάγαις ὑπερκόμποις,	avec *cette* armure trop-insolente,
βοᾷ παρὰ ὄχθαις ποταμίαις·	il crie près des rives du-fleuve :
μένει δὲ, ἵππος ἐρῶν μάχης,	et attend, cheval désireux du combat,
ὡς κατασθμαίνων χαλινῶν.	comme soufflant sur *son* frein,
ὅστις ὁρμαίνοι	lequel *cheval* s'élancerait
κλύων βοὴν σάλπιγγος.	entendant le son de la trompette.
Τίνα ἀντιτάξεις τῷδε ;	Qui opposeras-tu à celui-ci ?
τίς φερέγγυος	qui *sera* capable
προστατεῖν πυλῶν Προίτου,	de défendre les portes de Prétus,
κλῄθρων λυθέντων ;	les barrières ayant-été-brisées ?
ΕΤΕΟΚΛΗΣ. Ἐγὼ μὲν τρέσαιμι ἂν	ÉTÉOCLE. Moi, je *ne* saurais-craindre
οὔτινα κόσμον ἀνδρὸς,	aucune parure d'homme,

οὐδ' ἑλκοποιὰ γίγνεται τὰ σήματα·
λόφοι δὲ κώδων τ' οὐ δάκνουσ' ἄνευ δορός.
Καὶ νύκτα ταύτην ἣν λέγεις ἐπ' ἀσπίδος 385
ἄστροισι μαρμαίρουσαν οὐρανοῦ κυρεῖν,
τάχ' ἂν γένοιτο μάντις ἡ ἀνοία τινί.
Εἰ γὰρ θανόντι νὺξ ἐπ' ὀφθαλμοῖς πέσοι,
τῷ τοι φέροντι σῆμ' ὑπέρκομπον τόδε,
γένοιτ' ἂν ὀρθῶς ἐνδίκως τ' ἐπώνυμον, 390
καὐτὸς καθ' αὑτοῦ τήνδ' ὕβριν μαντεύσεται.
Ἐγὼ δὲ Τυδεῖ κεδνὸν Ἀσταχοῦ τόκον
τόνδ' ἀντιτάξω προστάτην πυλωμάτων,
μάλ' εὐγενῆ τε, καὶ τὸν αἰσχύνης θρόνον
τιμῶντα, καὶ στυγοῦνθ' ὑπέρφρονας λόγους 395
Αἰσχρῶν γὰρ ἀργὸς, μὴ κακὸς δ' εἶναι φιλεῖ.
Σπαρτῶν δ' ἀπ' ἀνδρῶν [1], ὧν Ἄρης ἐφείσατο,
ῥίζωμ' ἀνεῖται, κάρτα δ' ἔστ' ἐγχώριος,
Μελάνιππος. Ἔργον δ' ἐν κύβοις Ἄρης κρινεῖ.
Δίκη δ' ὁμαίμων κάρτα νιν προστέλλεται 400
εἴργειν τεκούσῃ μητρὶ πολέμιον δόρυ.

ΧΟΡΟΣ.

(Στροφὴ α').

Τὸν ἁμόν νυν ἀντίπαλον εὐτυχεῖν

emblèmes, tout insolents qu'ils sont, ne blessent pas; des aigrettes, des globes sonores ne tuent point sans la lance. Cette nuit, ce ciel resplendissant d'étoiles qu'il porte, dis-tu, sur son bouclier, ne sont peut-être que le présage du sort d'un insensé. Si l'ombre de la mort couvre aujourd'hui les yeux de celui qui porte ce fastueux emblème, la nuit se trouvera avoir été sa juste et véritable devise, et lui-même se sera présagé son opprobre. Quant à moi, aux portes de Prœtus, j'oppose à Tydée le vaillant fils d'Astacus, guerrier généreux, qui respecte le trône de l'honneur, et abhorre les discours présomptueux; ne craignant que la honte, il ne sait ce que c'est qu'être lâche. Rejeton de ces enfants de la terre, qu'épargna Mars, véritable Thébain, c'est Mélanippe. Mars décidera du succès; mais pour défendre du fer ennemi la terre dont il est sorti, c'est Mélanippe entre tous que le droit du sang a désigné.

LE CHOEUR. Puissent les dieux favoriser le guerrier que la justice

οὐδὲ τὰ σήματα γίγνεται	ni les emblèmes ne-sont
ἑλκοποιά·	faisant-des-blessures ;
λόφοι δὲ κώδων τε	puis aigrettes et sonnettes
οὐ δάκνουσιν ἄνευ δορός.	ne mordent-pas sans lance.
Καὶ ταύτην νύκτα ἣν λέγεις	Et cette nuit laquelle tu dis
κυρεῖν μαρμαίρουσαν	se trouver rayonnante
ἄστροισιν οὐρανοῦ ἐπὶ ἀσπίδος,	d'astres du ciel sur le bouclier,
τάχα ἡ ἄνοια	peut-être cette folie
γένοιτο ἂν μάντις τινί.	serait-elle prophétesse pour quelqu'un.
Εἰ γὰρ νὺξ πέσοι	Car si la nuit tombait
ἐπὶ ὀφθαλμοῖς θανόντι,	sur les yeux à-lui-mort,
τῷ τοι φέροντι	à-lui-certes-qui-porte
σῆμα τόδε ὑπέρκομπον,	cet-emblème-ci trop-insolent,
γένοιτο ἂν ἐπώνυμον	il deviendrait méritant-son-nom
ὀρθῶς ἐνδίκως τε,	bien et justement,
καὶ αὐτὸς μαντεύσεται	et lui-même (*Tydée*) aura prophétisé
τήνδε ὕβριν κατὰ αὑτοῦ.	cette injure-ci contre lui-même.
Ἐγὼ δὲ ἀντιτάξω Τυδεῖ	Mais moi j'opposerai à Tydée
τόνδε προστάτην πυλωμάτων	ce défenseur-ci de *nos*-portes
τόκον κεδνὸν Ἀστακοῦ,	*le* fils prudent d'Astacus,
μάλα εὐγενῆ τε, καὶ τιμῶντα	et très-noble, et honorant
τὸν θρόνον αἰσχύνης,	le trône de la pudeur,
καὶ στυγοῦντα	et haïssant
λόγους ὑπέρφρονας.	les discours insolents.
Ἀργὸς γὰρ	Car *il est* incapable
αἰσχρῶν,	de-choses-honteuses,
μὴ φιλεῖ δὲ εἶναι κακός.	et il n'a-pas-coutume d'être lâche.
Ἀνεῖται δὲ ῥίζωμα	Puis il remonte par-*son*-origine
ἀπὸ ἀνδρῶν σπαρτῶν,	aux hommes semés *par Cadmus*,
ὧν Ἄρης ἐφείσατο,	lesquels Mars épargna,
ἔστι δὲ κάρτα ἐγχώριος,	et il est certainement indigène,
Μελάνιππος. Ἄρης δὲ	*c'est* Mélanippe. Mais Mars
κρινεῖ ἔργον ἐν κύβοις.	décidera l'affaire avec les dés.
Δίκη δὲ ὁμαίμων	Mais le droit de-consanguinité
προστέλλεταί νιν κάρτα	envoie lui certainement
εἴργειν δόρυ πολέμιον	*pour* repousser la lance ennemie
μητρὶ τεκούσῃ.	de la mère qui *l'*a-enfanté.
ΧΟΡΟΣ. Θεοὶ	LE CHOEUR. Que les dieux
δοῖέν νυν	accordent certes
τὸν ἀμὸν ἀντίπαλον εὐτυχεῖν,	notre champion réussir,

θεοὶ δοῖεν, ὡς δικαίως πόλεως
πρόμαχος ὄρνυται· τρέμω δ' αἱματη-
φόρους μόρρους ὑπὲρ φίλων 405
ὁλομένων ἰδέσθαι.

ΑΓΓΕΛΟΣ.

Τούτῳ μὲν οὕτως εὐτυχεῖν δοῖεν θεοί·
Καπανεὺς[1] δ' ἐπ' Ἠλέκτραισιν[2] εἴληχεν πύλαις·
γίγας δδ' ἄλλος, τοῦ πάρος λελεγμένου
μείζων, ὁ κόμπος δ' οὐ κατ' ἄνθρωπον φρονεῖ, 410
πύργοις δ' ἀπειλεῖ δείν', ἃ μὴ κράνοι Τύχη·
θεοῦ τε γὰρ θέλοντος ἐκπέρσειν πόλιν,
καὶ μὴ θέλοντος, φησὶν, οὐδὲ τὴν Διὸς
ἔριν πέδῳ σκήψασαν ἐκποδὼν σχέθειν.
Τὰς δ' ἀστραπάς τε καὶ κεραυνίους βολὰς 415
μεσημβρινοῖσι θάλπεσιν προσείκασεν.
Ἔχει δὲ σῆμα, γυμνὸν ἄνδρα πυρφόρον,
φλέγει δὲ λαμπὰς διὰ χερῶν ὡπλισμένη·
χρυσοῖς δὲ φωνεῖ γράμμασιν, ΠΡΗΣΩ ΠΟΛΙΝ.
Τοιῶδε φωτὶ πέμπε — Τίς ξυστήσεται; 420
τίς ἄνδρα κομπάζοντα μὴ τρέσας μενεῖ·

ΕΤΕΟΚΛΗΣ.

Καὶ τῷδε κέρδει[3] κέρδος ἄλλο τίκτεται.
Τῶν τοι ματαίων ἀνδράσιν φρονημάτων
ἡ γλῶσσ' ἀληθὴς γίγνεται κατήγορος.
Καπανεὺς δ' ἀπειλεῖ[4], δρᾷν παρεσκευασμένος, 425

arme pour cette ville! Mais que je crains de voir succomber nos fidèles défenseurs!

L'ENVOYÉ. Puissent en effet les dieux lui donner la victoire! La porte d'Électre est échue à Capanée. Plus terrible que Tydée, celui-ci est un géant; son audace n'est pas d'un mortel; et puisse la fortune détourner l'effet des menaces qu'il fait à nos tours! Que les dieux le veuillent ou non, il jure qu'il renversera cette ville; le trait même de Jupiter, lancé sur le sol qu'il foule, ne saurait l'arrêter; les éclairs, les coups de la foudre, ne sont pour lui que les vaines ardeurs du midi. Son emblème est un homme nu portant un flambeau allumé; et sa devise, en lettres d'or : *Je brûlerai la ville.* Contre un tel guerrier envoie..... Mais qui osera lui tenir tête? qui soutiendra sans trembler le choc d'un ennemi si insolent?

ÉTÉOCLE. Cet adversaire est déjà trouvé, et ce n'est pas notre seul avantage. La vaine présomption de l'homme se trahit par ses discours. Capanée menace, et prêt à tout oser, méprisant les dieux,

ὡς δικαίως ὄρνυται,	comme justement il s'élance
πρόμαχος πόλεως·	défenseur de la ville!
τρέμω δὲ ὑπὲρ φίλων ὀλομένων	Mais je tremble pour-des-amis morts
ἰδέσθαι μόρους αἱματηφόρους.	de voir *leurs* destins sanglants.
ΑΓΓΕΛΟΣ. Θεοὶ μὲν δοῖεν	L'ENVOYÉ. Que les dieux accordent
τούτῳ εὐτυχεῖν οὕτως·	à celui-ci de réussir ainsi!
Καναπεὺς δὲ εἴληχεν	Mais Capanée a-été-placé-par-le-sort
ἐπὶ πύλαις Ἠλέκτραισιν·	aux portes d'Électre :
ὅδε ἄλλος γίγας,	cet autre *est* un géant,
μείζων τοῦ λελεγμένου πάρος,	plus grand que-celui dit auparavant,
ὁ κόμπος δὲ οὐ φρονεῖ	et *sa* jactance ne raisonne pas
κατὰ ἄνθρωπον,	humainement,
ἀπειλεῖ δὲ πύργοις	et il menace *ces* tours
δεινὰ, ἃ Τύχη	de-choses-terribles, que la fortune
μὴ κράνοι·	n'accomplisse pas!
φησὶν γὰρ ἐκπέρσειν πόλιν,	Car il dit devoir-détruire la ville,
θεοῦ τε θέλοντος καὶ μὴ θέλοντος,	Un dieu et le voulant et ne *le* voulant
οὐδὲ τὴν ἔριν Διὸς	et pas-même la colère de Jupiter [pas,
σκήψασαν πέδῳ	s'étant-abattue sur le sol
σχέθειν ἐκποδών.	*ne*-devoir-le-mettre à-l'écart.
Προσείκασεν δὲ τὰς ἀστραπάς τε	Or il a assimilé et les éclairs
καὶ βολὰς κεραυνίους	et les jets-de-la-foudre
θάλπεσι μεσημβρινοῖσιν.	à des chaleurs de-midi.
Ἔχει δὲ σῆμα,	Et il a *pour* emblème,
ἄνδρα γυμνὸν πυρφόρον,	un homme nu portant-du-feu,
λαμπὰς δὲ φλέγει	et un flambeau brûle
ὡπλισμένη διὰ χερῶν·	armé dans *ses* mains :
φωνεῖ δὲ γράμμασιν χρυσοῖς,	et il dit en lettres d'-or,
ΠΡΗΣΩ ΠΟΛΙΝ.	JE BRULERAI LA VILLE.
Πέμπε φωτὶ τοιῷδε —	Envoie contre un homme tel....
Τίς ξυστήσεται;	*mais* qui *lui* tiendra-tête?
τίς μενεῖ μὴ τρέσας	qui attendra n'ayant-pas-tremblé
ἄνδρα κομπάζοντα;	*cet* homme plein-de-jactance?
ΕΤΕΟΚΛΗΣ. Καὶ τῷδε κέρδει	ÉTÉOCLE. Encore à cet avantage-ci
ἄλλο κέρδος τίκτεται.	un autre avantage se-joint.
Ἡ γλῶσσά τοι γίγνεται	La langue certes est
κατήγορος ἀληθὴς	l'accusatrice vraie
φρονημάτων ματαίων ἀνδράσιν.	des pensées vaines aux hommes.
Καπανεὺς δὲ ἀπειλεῖ,	Or Capanée menace,
παρεσκευασμένος δρᾷν,	prêt à faire *ce qu'il dit*,

θεοὺς ἀτίζων, κἀπογυμνάζων στόμα,
χαρᾷ ματαιᾷ, θνητὸς ὢν, ἐς οὐρανὸν
πέμπει γεγωνὰ Ζηνὶ κυμαίνοντ' ἔπη.
Πέποιθα δ' αὐτῷ ξὺν δίκῃ τὸν πυρφόρον
ἥξειν κεραυνὸν, οὐδὲν ἐξεικασμένον 430
μεσημβρινοῖσι θάλπεσιν τοῖς ἡλίου.
Ἀνὴρ δ' ἐπ' αὐτῷ, κεἰ στόμαργός ἐστ' ἄγαν,
αἴθων τέτακται λῆμα Πολυφόντου βία,
φερέγγυον φρούρημα, Προστατηρίας
Ἀρτέμιδος εὐνοίαισι, σύν τ' ἄλλοις θεοῖς. 435
Λέγ' ἄλλον ἄλλαις ἐν πύλαις εἰληχότα.

ΧΟΡΟΣ.

(Ἀντιστροφὴ β').

Ὄλοιθ' ὃς πόλει μεγάλ' ἐπεύχεται,
κεραυνοῦ δέ νιν βέλος ἐπισχέθοι,
πρὶν ἐμὸν ἐσθορεῖν δόμον, πωλικῶν[1] θ'
ἐδωλίων ὑπερκόπῳ 440
δορί ποτ' ἐκλαπάξαι.

ΑΓΓΕΛΟΣ.

Καὶ μὴν τὸν ἐντεῦθεν λαχόντα πρὸς πύλαις
λέξω· τρίτῳ γὰρ Ἐτεόκλῳ τρίτος πάλος
ἐξ ὑπτίου 'πήδησεν εὐχάλκου κράνους,
πύλαισι Νηΐταισι[2] προσβαλεῖν λόχον. 445

déchaînant sa langue, plein d'une folle joie, simple mortel, il adresse au ciel d'insolentes paroles, et défie Jupiter. Mais bientôt, j'en ai la ferme confiance, pleuvront sur lui des foudres brûlants, juste châtiment de son délire, et ce ne seront pas de vaines ardeurs du midi. Malgré son arrogance, l'ardent courage, la force de Polyphonte, que je lui oppose, seront pour nous une barrière suffisante, si Diane protectrice, si les autres dieux nous assistent. Poursuis, nomme-moi le nouveau chef que le sort a destiné pour l'attaque d'une autre porte.

LE CHOEUR. Périsse l'auteur de ces terribles menaces! que la foudre l'arrête avant qu'il s'élance dans nos foyers, et que sa pique insolente nous chasse de nos retraites virginales!

L'ENVOYÉ. Je vais dire celui dont le sort ensuite a marqué la place à nos portes : c'est Étéocle; son nom est sorti le troisième du fond du casque, et la porte Néitide est celle qu'il doit assaillir. Sa

ἀτίζων θεοὺς,	méprisant les dieux,
καὶ ἀπογυμνάζων στόμα,	et exerçant *sa* bouche,
χαρᾷ ματαιᾷ, ὢν θνητὸς,	avec une joie vaine, étant mortel,
πέμπει ἐς οὐρανὸν	il envoie vers le ciel
ἔπη κυμαίνοντα	des paroles bouillonnantes
γεγωνὰ Ζηνί.	qui-seront-entendues de Jupiter.
Πέποιθα δὲ τὸν κεραυνὸν πυρφόρον	Mais j'ai-confiance la foudre embrasée
ἥξειν αὐτῷ ξὺν δίκῃ,	devoir-venir sur lui avec justice,
οὐδὲν ἐξεικασμένον	n'étant-en-rien semblable
τοῖς θάλπεσι μεσημβρινοῖσιν ἡλίου.	aux chaleurs de-midi du soleil.
Ἐπὶ αὐτῷ δὲ,	Or contre lui,
καὶ εἴ ἐστιν ἄγαν στόμαργος,	quoiqu'il soit trop fanfaron,
τέταχται ἀνὴρ	a-été-placé un homme
αἴθων λῆμα	ardent par-le-courage,
βία Πολυφόντου,	la force de Polyphonte,
φρούρημα φερέγγυον,	garde suffisante,
εὐνοίαισιν Ἀρτέμιδος	*avec* la bienveillance d'Artémis
Προστατηρίας,	Protectrice,
σύν τε ἄλλοις θεοῖς.	et avec les autres dieux.
Λέγε ἄλλον εἰληχότα	Dis un autre placé-par-le-sort
ἐν ἄλλαις πύλαις.	à une-autre porte.
ΧΟΡΟΣ. Ὄλοιτο ὃς	LE CHŒUR. Périsse *celui*-qui
ἐπεύχεται μεγάλα	fait-de-grandes-imprécations
πόλει,	contre-la-ville,
βέλος δὲ κεραυνοῦ	et que le trait de la foudre
ἐπισχέθοι νιν,	arrête lui,
πρὶν ἐσθορεῖν ἐμὸν δόμον,	avant *lui* s'élancer dans ma maison,
ἐκλαπάξαι τέ ποτε	et m'arracher enfin
ἑδωλίων πωλικῶν	des siéges virginaux
δορὶ ὑπερκόπῳ.	avec-la-lance insolente !
ΑΓΓΕΛΟΣ. Καὶ μὴν λέξω	L'ENVOYÉ. Et certes je dirai
τὸν ἐντεῦθεν	celui ensuite
λαχόντα	ayant-été- mis-par-le-sort
πρὸς πύλαις.	à une porte.
Τρίτος γὰρ πάλος	Car le troisième jet-du-sort
ἐπήδησεν ἐκ κράνους	est-sorti d'un casque
εὐχάλκου ὑπτίου	de-bon-airain renversé
Ἐτεόκλῳ τρίτῳ,	à Étéocle troisième,
προσβαλεῖν λόχον	pour-faire-avancer sa troupe
πύλαισι Νηΐταισι.	vers-la porte de-Néïs.

Ἵππους δ' ἐν ἀμπυκτῆρσιν ἐμβριμωμένας
δινεῖ, θελούσας πρὸς πύλαις πεπτωκέναι.
Φιμοὶ δὲ συρίζουσι βάρβαρον τρόπον,
μυκτηροκόμποις πνεύμασιν πληρούμενοι.
Ἐσχημάτισται δ' ἀσπὶς οὐ σμικρὸν τρόπον· 450
ἀνὴρ δ' ὁπλίτης κλίμακος προσαμβάσεις [1]
στείχει πρὸς ἐχθρῶν πύργον, ἐκπέρσαι θέλων·
βοᾷ δὲ χοῦτος γραμμάτων ἐν ξυλλαβαῖς,
ὡς οὐδ' ἂν Ἄρης σφ' ἐκβάλοι πυργωμάτων.
Καὶ τῷδε φωτὶ πέμπε τὸν φερέγγυον 455
πόλεως ἀπείργειν τῆσδε δούλειον ζυγόν.

ΕΤΕΟΚΛΗΣ.

Πέμπω μ' ἂν ἤδη τόνδε σὺν τύχῃ δέ τῳ [2].
καὶ δὴ πέπεμπτ', οὐ κόμπον ἐν χεροῖν ἔχων,
Μεγαρεὺς Κρέοντος [3] σπέρμα, τοῦ Σπαρτῶν γένους,
ὃς οὔτι μάργον ἱππικῶν φρυαγμάτων 460
βρόμον φοβηθεὶς ἐκ πυλῶν χωρήσεται·
ἀλλ' ἢ θανὼν τροφεῖα πληρώσει χθονὶ,
ἢ καὶ δύ' ἄνδρε, καὶ πόλισμ' ἐπ' ἀσπίδος

main a peine à retenir deux cavales toutes frémissantes sous le harnais, et impatientes de voler à nos remparts. Au travers de leurs muselières s'échappe avec un sifflement étrange le souffle ardent de leurs naseaux. Son bouclier est orné d'un emblème peu commun : c'est un soldat escaladant une tour qu'il veut prendre d'assaut; de sa bouche sortent ces mots écrits : « *Que Mars lui-même ne le repousserait pas.* » A ce chef encore oppose un adversaire capable d'éloigner de Thèbes le joug de l'esclavage.

ÉTÉOCLE. Le voici, et ce n'est pas sans quelque espoir de succès; son bras ne porte point d'emblème orgueilleux, mais il marchera au combat sans se laisser effrayer par les hennissements de ces coursiers furieux; c'est un rejeton de la terre, le fils de Créon, Mégarée. Ou, par sa mort, il acquittera ce qu'il doit à sa patrie, ou, maître à la fois des deux hommes et du rempart représenté sur le bouclier de son

Δινεῖ δὲ ἵππους	Or il fait-tourner *ses* cavales
ἐμβριμωμένας	frémissantes
ἐν ἀμπυκτῆρσιν,	dans les-harnais,
θελούσας πεπτωκέναι	*et* voulant fondre
πρὸς πύλαις.	sur-la-porte.
Φιμοὶ δὲ συρίζουσι	Et les muselières sifflent
τρόπον βάρβαρον,	d'une manière étrange,
πληρούμενοι πνεύμασιν	se-remplissant de souffles [seaux.
μυκτηροκόμποις.	qui-s'échappent-bruyamment des na-
Ἀσπὶς δὲ ἐσχημάτισται	Puis le bouclier a-été-orné
τρόπον οὐ σμικρόν·	d'une façon non petite;
ἀνὴρ δὲ ὁπλίτης στείχει	un homme tout-armé approche
προσαμβάσεις κλίμακος	les degrés d'une-échelle
πρὸς πύργον ἐχθρῶν,	vers une tour d'ennemis,
θέλων ἐκπέρσαι·	voulant *la* renverser :
καὶ οὗτος δὲ βοᾷ	et celui-ci aussi crie
ἐν ξυλλαβαῖς γραμμάτων,	dans-des-assemblages de-lettres,
ὡς οὐδὲ Ἄρης	que pas-même Mars
ἂν ἐκβάλοι σφε πυργωμάτων.	*ne*-renverserait lui des remparts.
Καὶ τῷδε φωτὶ	Encore contre cet homme-ci
πέμπε τὸν φερέγγυον	envoie celui qui-est-capable
ἀπείργειν τῆσδε πόλεως	d'écarter de cette ville-ci
ζυγὸν δούλειον.	le joug de-l'esclavage.
ΕΤΕΟΚΛΗΣ. Πέμποιμι ἂν ἤδη	ÉTÉOCLE. J'enverrai déjà
τόνδε	celui-ci
σὺν δέ τῳ τύχῃ·	et-même avec quelque bonheur;
καὶ δὴ πέπεμπται,	et certes a-été-envoyé,
οὐκ ἔχων κόμπον	n'ayant pas de bravade
ἐν χεροῖν,	dans les mains,
Μεγαρεὺς σπέρμα Κρέοντος,	Mégarée, rejeton de Créon,
τοῦ γένους Σπαρτῶν,	de la race des *hommes*-semés,
ὃς οὔτι φοβηθεὶς	lequel n'ayant-nullement craint
βρόμον μάργον	un frémissement furieux
φρυαγμάτων ἱππικῶν	de hennissements de chevaux,
χωρήσεται ἐκ πυλῶν·	marchera hors des portes :
ἀλλὰ ἢ θανὼν πληρώσει	mais ou étant-mort il acquittera
τροφεῖα χθονὶ,	*sa* nourriture à la terre,
ἢ ἑλὼν καὶ δύο ἄνδρε,	ou ayant-pris et les deux hommes,
καὶ πόλισμα	et la ville
ἐπὶ ἀσπίδος,	*qui est* sur le bouclier,

ἑλὼν, λαφύροις δῶμα κοσμήσει πατρός. 465
Κόμπαζ' ἐπ' ἄλλῳ, μηδέ μοι φθόνει λέγων.

ΧΟΡΟΣ.

(Στροφὴ β'.)

Ἐπεύχομαι τάδε μὲν εὐτυχεῖν,
(ἰώ!) πρόμαχ' [1] ἐμῶν δόμων, τοῖσι δὲ δυστυχεῖν.
Ὡς δ' ὑπέραυχα βάζουσιν ἐπὶ πτόλει
μαινομένα φρενὶ, τώς νιν
Ζεὺς νεμέτωρ ἐπίδοι κοταίνων. 470

ΑΓΓΕΛΟΣ.

Τέταρτος ἄλλος, γείτονας πύλας ἔχων
Ὄγκας Ἀθάνας, ξὺν βοῇ παρίσταται,
Ἱππομέδοντος σχῆμα καὶ μέγας τύπος.
Ἅλω δὲ πολλὴν (ἀσπίδος κύκλον λέγω)
ἔφριξα δινήσαντος· οὐκ ἄλλως ἐρῶ. 475
Ὁ σηματουργὸς δ' οὔ τις εὐτελὴς ἄρ' ἦν,
ὅστις τόδ' ἔργον ὤπασεν πρὸς ἀσπίδι,
Τυφῶν' ἱέντα πύρπνοον διὰ στόμα
λιγνὺν μέλαιναν, αἰόλην πυρὸς κάσιν·
ὄφεων δὲ πλεκτάναισι περίδρομον κύτος 480
προσηδάφισται κοιλογάστορος κύκλου.
Αὐτὸς δ' ἐπηλάλαξεν, ἔνθεος δ' Ἄρει
βακχᾷ πρὸς ἀλκὴν, Θυιὰς ὡς, φόβον βλέπων.

ennemi, il ornera de dépouilles le palais de son père. Mais vante-moi un autre chef; parle, ne crains pas de m'irriter.

LE CHOEUR. Puisses-tu triompher, ô défenseur de nos foyers! puissent nos ennemis succomber! Aux insolentes menaces que dans leur fureur ils envoient à notre ville, que Jupiter vengeur réponde par un regard de colère!

L'ENVOYÉ. Le quatrième chef, celui qui doit attaquer la porte voisine de Minerve Oncé, est le terrible Hippomédon, à la gigantesque stature; il s'avance en poussant des cris. A le voir tourner rapidement un disque énorme, c'est son bouclier que je veux dire, j'ai frémi, je l'avoue. Ce n'était pas un artisan vulgaire, celui qui grava cette armure : on y voit Typhon, dont la bouche ardente vomit une fumée noire, sœur mobile du feu. Autour du bouclier sont incrustés des serpents enlacés. Hippomédon pousse des cris de triomphe; plein de Mars, semblable à une bacchante, la rage du combat le transporte; ses yeux lancent l'épouvante. Gardez-vous des efforts

κοσμήσει λαφύροις	il ornera de dépouilles
δῶμα πατρός.	le palais de *son* père.
Κόμπαζε ἐπὶ ἄλλῳ,	Dis-des-bravades au sujet d'un autre,
μηδὲ φθόνει μοι λέγων.	et n'épargne-pas moi en-parlant.
ΧΟΡΟΣ. Ἐπεύχομαι	LE CHOEUR, Je souhaite
τάδε μὲν εὐτυχεῖν,	ces-choses-ci réussir,
(ἰώ!) πρόμαχε ἐμῶν δόμων,	*ô* défenseur de mes demeures,
δυστυχεῖν δὲ τοῖσι.	et *les-choses* tourner-mal à ceux-là.
Ὡς δὲ βάζουσιν ὑπέραυχα	Et comme ils parlent insolemment
ἐπὶ πτόλει φρενὶ μαινομένᾳ,	contre la ville avec un esprit furieux,
τὼς Ζεὺς νεμέτωρ	*qu'*ainsi Jupiter distributeur
ἐπίδοι νιν κοταίνων.	regarde eux étant-irrité.
ΑΓΓΕΛΟΣ. Τέταρτος ἄλλος,	L'ENVOYÉ. Le quatrième autre,
ἔχων πύλας γείτονας	ayant la porte voisine
Ἀθάνας Ὄγκας,	de Minerve Oncé,
παρίσταται ξὺν βοῇ,	se-tient-auprès avec des cris,
σχῆμα καὶ τύπος μέγας	*c'est* la figure et la forme gigantesque
Ἱππομέδοντος.	d'Hippomédon.
Δινήσαντος δὲ	Or *celui-ci* ayant-fait-tournoyer
ἅλω πολλὴν	un disque énorme,
(λέγω κύκλον ἀσπίδος)	(je dis le cercle de *son* bouclier)
ἔφριξα·	j'ai frissonné;
οὐκ ἐρῶ ἄλλως.	je ne dirai pas autrement.
Ὁ δὲ σηματουργὸς	Et le faiseur-d'emblèmes
οὐκ ἦν ἄρα τις εὐτελής,	n'était-certes-pas un *homme*-vulgaire,
ὅστις ὤπασεν πρὸς ἀσπίδι	qui a joint au bouclier
τόδε ἔργον, Τυφῶνα ἱέντα	cet ouvrage-ci, Typhon lançant
διὰ στόμα πύρπνοον	par *sa* bouche soufflant-le-feu
λιγνὺν μέλαιναν,	une fumée noire,
κάσιν αἰόλην πυρός·	sœur mobile du feu :
κύτος δὲ περίδρομον	puis la cavité circulaire
κύκλου κοιλογάστορος	du disque au-ventre-creux
προσηδάφισται	a-été-pavée
πλεκτάναισιν ὄφεων.	d'enlacements de serpents.
Αὐτὸς δὲ	Et lui-même
ἐπηλάλαξεν,	a-poussé-des-cris-de-guerre,
ἔνθεος δὲ Ἄρει	et plein-du-dieu-Mars
βακχᾷ πρὸς ἀλκὴν,	il s'agite pour le combat,
ὡς Θυιὰς,	comme une Thyade,
βλέπων φόβον	lançant-de-ses-yeux la terreur.

Τοιοῦδε φωτὸς πεῖραν εὖ φυλακτέον·
φόβος γὰρ ἤδη πρὸς πύλαις κομπάζεται. 485

ΕΤΕΟΚΛΗΣ.

Πρῶτον μὲν Ὄγκα Παλλὰς ἥδ' ἀγχίπτολις,
πύλαισι γείτων, ἀνδρὸς ἐχθαίρουσ' ὕβριν,
εἴρξει νεοσσῶν ὡς δράκοντα δύσχιμον·
Ὑπέρβιος[1] δὲ, κεδνὸς Οἴνοπος τόκος,
ἀνὴρ κατ' ἄνδρα τοῦτον ἡρέθη, θέλων 490
ἐξιστορῆσαι μοῖραν, ἐν χρείᾳ τύχης·
οὔτ' εἶδος, οὔτε θυμὸν, οὔθ' ὅπλων σχέσι
μωμητός· Ἑρμῆς δ' εὐλόγως ξυνήγαγεν.
Ἐχθρὸς γὰρ ἀνὴρ ἀνδρὶ τῷ ξυστήσεται.
Ξυνοίσετον δὲ πολεμίους ἐπ' ἀσπίδων 495
θεούς· ὁ μὲν γὰρ πύρπνοον Τυφῶν' ἔχει,
Ὑπερβίῳ δὲ Ζεὺς πατὴρ ἐπ' ἀσπίδος
σταδαῖος ἧσται, διὰ χερὸς βέλος φλέγων·
κοὔπω τις εἶδε Ζῆνά του νικώμενον.
Τοιάδε μέντοι προσφίλεια δαιμόνων· 500
πρὸς τῶν κρατούντων δ' ἐσμὲν, οἱ δ' ἡσσωμένων·
εἰκὸς δὲ πράξειν ἄνδρας ὧδ' ἀντηρέτας,

d'un tel guerrier ; car déjà ses bravades ont répandu la terreur à nos portes.

ÉTÉOCLE. D'abord la déesse voisine de Thèbes et de cette porte, Minerve Oncé, irritée d'une audace injurieuse, défendra ses enfants des atteintes de ce dragon furieux ; puis l'homme que j'oppose à l'homme, c'est le vaillant fils d'OEnops, Hyperbius, qui brûle de tenter le sort du combat. En force, en courage, en armure, il ne le cède point à son rival : Mercure les a bien appareillés ; les deux guerriers sont ennemis, et de plus portent sur leurs boucliers des dieux ennemis l'un de l'autre. Hippomédon porte Typhon au souffle embrasé ; et sur le bouclier d'Hyperbius se tient debout, la foudre en main, Jupiter, qui jamais n'a connu de vainqueur. Or, on sait l'amitié que se portent ces dieux. Pour nous sont les vainqueurs, pour l'ennemi les vaincus ;

Φυλακτέον εὖ	Il-faut-se-garder bien
πεῖραν τοιοῦδε φωτός·	contre-l'attaque d'un tel homme :
ἤδη γὰρ φόβος	car déjà la terreur
κομπάζεται	se-répand-par-ses-bravades
πρὸς πύλαις.	aux portes.
ΕΤΕΟΚΛΗΣ. Πρῶτον μὲν	ÉTÉOCLE. D'abord d'un côté
Παλλὰς Ὄγκα ἥδε ἀγχίπτολις,	Pallas-Oncé celle-près-de-la-ville,
γείτων πύλαισι,	voisine des portes,
ἐχθαίρουσα ὕβριν ἀνδρὸς,	haïssant l'insolence de-*cet*-homme,
εἴρξει νεοσσῶν	*l'*écartera de-*ses*-nourrissons
ὡς δράκοντα δύσχιμον·	comme un dragon dangereux :
ἀνὴρ δὲ	d'un-autre-côté homme
κατὰ τοῦτον ἄνδρα	contre cet homme
ἡρέθη Ὑπέρβιος,	a-été-choisi Hyperbius,
κεδνὸς τόκος Οἴνοπος,	prudent fils d'Œnops,
θέλων ἐξιστορῆσαι μοῖραν,	voulant rechercher *son* destin
ἐν χρείᾳ τύχης·	dans *cette* nécessité de fortune;
μωμητὸς οὔτε εἶδος,	répréhensible ni pour-la-figure,
οὔτε θυμὸν,	ni *pour*-le-cœur,
οὔτε σχέσιν ὅπλων·	ni *pour*-l'état des-armes;
Ἑρμῆς δὲ ξυνήγαγεν	et Mercure *les*-a-mis-aux-prises
εὐλόγως. Ἀνὴρ γὰρ	raisonnablement. Car l'homme
ἐχθρὸς ἀνδρὶ,	*est* ennemi de l'homme,
τῷ ξυστήσεται.	contre-lequel il luttera.
Ξυνοίσετον δὲ	Puis ils opposeront-tous-deux
θεοὺς πολεμίους ἐπὶ ἀσπίδων·	des dieux ennemis sur *leurs* boucliers:
ὁ μὲν γὰρ ἔχει	car l'un a
Τυφῶνα πύρπνοον,	Typhon au-souffle-de-feu,
ἐπὶ ἀσπίδος δὲ Ὑπερβίῳ	et sur le bouclier à Hyperbius
Ζεὺς πατὴρ	Jupiter père-*des-dieux*
ἥσται σταδαῖος,	se-tient de-pied-ferme,
φλέγων βέλος διὰ χερός·	brûlant un trait dans *sa* main;
καὶ οὔπω τις εἶδε Ζῆνα	et-nul-encore-*ne* vit Jupiter
νικώμενόν του. Μέντοι τοιάδε	vaincu par-personne. Or telle *est*
προσφίλεια δαιμόνων·	l'amitié de *ces* dieux *l'un pour l'autre*,
ἐσμὲν δὲ πρὸς τῶν κρατούντων,	et nous-sommes *pour* les vainqueurs,
οἱ δὲ ἡσσωμένων·	eux *pour* les vaincus;
εἰκὸς δὲ	or il-*est*-probable
ἄνδρας ἀντηρέτας	*ces* hommes rivaux
πράξειν ὧδε,	devoir-s'en-tirer ainsi,

εἰ Ζεύς γε Τυφῶ καρτερώτερος μάχῃ.
Ὑπερβίῳ τε, πρὸς λόγον τοῦ σήματος,
σωτὴρ τένοιτ' ἂν Ζεὺς ἐπ' ἀσπίδος τυχών. 505

ΧΟΡΟΣ.

(Ἀντιστροφὴ β'.)

Πέποιθα τὸν Διὸς ἀντίτυπον ἔχοντ'
ἄφιλον ἐν σάκει τοῦ χθονίου δέμας
δαίμονος ἐχθρὸν εἴκασμα βροτοῖς τε καὶ
δαροβίοισι θεοῖσιν,
πρόσθε πυλᾶν κεφαλὰν ἰάψειν. 510

ΑΓΓΕΛΟΣ.

Οὕτως γένοιτο. Τὸν δὲ πέμπτον αυ λέγω,
πέμπταισι προσταχθέντα βορβαίαις πύλαις
τύμβον κατ' αὐτὸν Διογενοῦς Ἀμφίονος.
Ὄμνυσι δ' αἰχμὴν, ἣν ἔχει, μᾶλλον θεοῦ
σέβειν πεποιθὼς, ὀμμάτων θ' ὑπέρτερον, 515
ἢ μὴν λαπάξειν ἄστυ Καδμείων βίᾳ
Διός. Τόδ' αὐδᾷ μητρὸς ἐξ ὀρεσκόου [1]
βλάστημα καλλίπρωρον, ἀνδρόπαις ἀνήρ.
Στείχει δ' ἴουλος ἄρτι διὰ παρηΐδων,
ὥρας φυούσης, ταρφὺς ἀντέλλουσα θρίξ. 520
Ὁ δ' ὠμὸν, οὔτι παρθένων ἐπώνυμον,
φρόνημα, γοργὸν δ' ὄμμ' ἔχων, προσίσταται.

si Jupiter vainquit Typhon, n'est-ce pas un présage du sort des deux adversaires? Jupiter, croyons-en l'emblème du bouclier d'Hyperbius, donnera la victoire au champion qui le porte.

LE CHOEUR. Oui, celui qui sur son bouclier oppose au type de Jupiter l'odieux portrait du fils de la Terre, image abhorrée des humains et des dieux immortels, se brisera la tête devant nos portes.

L'ENVOYÉ. Que ce vœu s'accomplisse! — J'arrive au cinquième chef, auquel est échue par le sort la porte de Borée, près du tombeau du divin Amphion. Par la lance qu'il tient, et qui lui est plus sacrée que les dieux, plus chère que la prunelle de ses yeux, il jure de saccager la ville de Cadmus en dépit de Jupiter. Ainsi parle le superbe rejeton d'une nymphe des montagnes, cet enfant viril. A peine ses joues se couvrent-elles de ce léger duvet, qui croît et s'épaissit avec la puberté; mais cruel dans son cœur, farouche dans ses regards, il n'a d'une vierge que le nom. Avec quelle insolence il marche contre

εἴ γε Ζεὺς καρτερώτερος	puisque Jupiter *est* supérieur
Τυφῶ μάχῃ.	à Typhon dans le combat;
Ὑπερβίῳ τε	et à Hyperbius
πρὸς λόγον τοῦ σήματος,	dans la proportion de l'emblème,
Ζεὺς γένοιτο ἂν σωτὴρ	Jupiter sera sauveur
τυχὼν ἐπὶ ἀσπίδος.	se-trouvant sur *son* bouclier.
ΧΟΡΟΣ. Πέποιθα	LE CHOEUR. J'ai-confiance
τὸν ἔχοντα ἐν σάκει	celui qui-a sur *son* bouclier
ἄφιλον ἀντίτυπον Διός,	l'odieux adversaire de Jupiter,
δέμας τοῦ δαίμονος χθονίου	le corps du dieu terrestre,
εἴκασμα ἐχθρὸν βροτοῖς τε	image abhorrée et des mortels
καὶ θεοῖσι δαροβίοισιν,	et des dieux à-la-longue-vie,
ἰάψειν κεφαλὰν	devoir-briser *sa* tête
πρόσθε πυλᾶν.	devant *nos* portes.
ΑΓΓΕΛΟΣ. Γένοιτο οὕτως.	L'ENVOYÉ. Qu'il soit ainsi!
Λέγω δὲ αὖ τὸν πέμπτον,	Mais je dis de nouveau le cinquième,
προσταχθέντα πύλαις	qui-a-été-désigné pour la porte
πέμπταισι βορραίαις,	cinquième de-Borée,
κατὰ τύμβον αὐτὸν	près du tombeau-même
Αμφίονος Διογενοῦς.	d'Amphion fils-de-Jupiter.
Ὄμνυσι δὲ αἰχμὴν ἣν ἔχει	Or il jure par-la-lance, qu'il a,
πεποιθὼς σέβειν	osant *la*-révérer
μᾶλλον θεοῦ,	plus qu'un dieu,
ὑπέρτερόν τε ὀμμάτων,	et de-préférence à-*ses*-yeux,
ἢ μὴν λαπάξειν	oui certes *lui*-devoir-saccager
ἄστυ Καδμείων	la ville des Cadméens
βίᾳ Διός.	en dépit de Jupiter.
Βλάστημα καλλίπρωρον	Le rejeton au-beau-front
ἐκ μητρὸς ὀρεσκόου,	d'une mère montagnarde,
ἀνὴρ ἀνδρόπαις αὐδᾷ τόδε.	homme enfant-et-homme, dit cela.
Ἴουλος δὲ	Or un poil-follet
στείχει ἄρτι	se-montre récemment
διὰ παρηΐδων,	sur *ses* joues,
θρὶξ ἀντέλλουσα ταρφὺς,	poil qui-croît épais,
ὥρας φυούσης.	l'âge *le* faisant-pousser.
Ὁ δὲ ἔχων φρόνημα ὠμὸν,	Mais lui ayant un courage cruel,
οὔτι	*et* nullement
ἐπώνυμον παρθένων,	en-rapport-avec-le-nom de vierge,
ὄμμα δὲ γοργὸν,	et un regard terrible,
προσίσταται.	se-tient-près *de nos murs.*

Οὐ μὴν ἀκόμπαστός γ' ἐφίσταται πύλαις·
τὸ γὰρ πόλεως ὄνειδος ἐν χαλκηλάτῳ
σάκει, κυκλωτῷ σώματος προβλήματι, 525
Σφίγγ' ὠμόσιτον, προσμεμηχανημένην
γόμφοις, ἐνώμα, λαμπρὸν ἔκκρουστον δέμας·
φέρει δ' ὑφ' αὑτῇ φῶτα, Καδμείων ἕνα,
ὡς πλεῖστ' ἐπ' ἀνδρὶ τῷδ' ἰάπτεσθαι βέλη.
Ἐλθὼν δ' ἔοικεν οὐ καπηλεύσειν μάχην, 530
μακρᾶς κελεύθου δ' οὐ καταισχυνεῖν πόρον,
Παρθενοπαῖος [1] Ἀρκάς. Ὁ δὲ τοιόσδ' ἀνὴρ,
μέτοικος, Ἄργει δ' ἐκτίνων καλὰς τροφὰς,
πύργοις ἀπειλεῖ τοῖσδ', ἃ μὴ κράνοι θεός.

ΕΤΕΟΚΛΗΣ.

Εἰ γὰρ τύχοιεν ὧν φρονοῦσι πρὸς θεῶν, 535
αὐτοῖς ἐκείνοις ἀνοσίοις κομπάσμασιν
ἢ τὰν πανώλεις παγκάκως τ' ὀλοίατο.
Ἔστιν δὲ καὶ τῷδ', ὃν λέγεις τὸν Ἀρκάδα,
ἀνὴρ ἄκομπος (χεὶρ δ' δρᾷ τὸ δράσιμον),
Ἄκτωρ, ἀδελφὸς τοῦ πάρος λελεγμένου, 540
ὃς οὐκ ἐάσει γλῶσσαν [2], ἐργμάτων ἄτερ,
ἔξω [3] πυλῶν ῥέουσαν, ἀλδαίνειν κακά·

nos murs! sur son bouclier, rempart circulaire de son corps, il porte clouée l'image du Sphinx sanguinaire, cet opprobre de notre ville. Le monstre, resplendissant, effroyable, tient dans ses griffes un Thébain, destiné sans doute à recevoir tous nos traits. Certes, ce n'est point pour faire trafic de son sang par une honteuse défection qu'il est accouru d'un pays lointain; c'est Parthénopée l'Arcadien. Étranger dans Argos, et prêt à payer à ses hôtes le prix de leurs soins, il éclate contre nos tours en menaces, que confonde le ciel.

ÉTÉOCLE. Ah! s'ils sont traités par les dieux comme le mérite leur orgueil, ils périront tous et de la mort la plus funeste, eux et leur impie arrogance. A l'Arcadien dont tu parles, j'oppose encore un guerrier sans jactance, mais dont le bras sait agir : Actor, le frère du dernier que j'ai nommé; Actor, qui ne permettra point qu'une langue débordée vienne aggraver nos malheurs, ni qu'un bras ennemi montre

Οὐ μήν γε ἐφίσταται	Assurément il-ne-se-tient-pas
πύλαις ἀκόμπαστος·	à *nos* portes sans-jactance;
ἐν σάκει γὰρ χαλκηλάτῳ,	car sur un bouclier fait-d'airain,
προβλήματι κυκλωτῷ σώματος,	rempart circulaire de *son* corps,
ἐνώμα τὸ ὄνειδος πόλεως,	il agitait l'opprobre de la ville
Σφίγγα ὠμόσιτον,	le Sphinx carnivore,
προσμεμηχανημένην γόμφοις,	artistement-attaché avec-des-clous,
δέμας λαμπρὸν ἔκκρουστον·	corps brillant en-saillie;
φέρει δὲ ὑπὸ αὐτῇ	et il (*le sphinx*) porte sous lui
φῶτα,	un homme
ἕνα Καδμείων,	un des Cadméens,
ὡς πλεῖστα βέλη	afin la-plupart des traits
ἱάπτεσθαι ἐπὶ τῷδε ἀνδρί.	être lancés sur cet homme-là.
Ἐλθὼν δὲ ἔοικεν	Or étant-venu il paraît
οὐ καπηλεύσειν μάχην,	ne-pas-devoir-marchander le combat,
οὐδὲ καταισχυνεῖν	ni devoir-déshonorer
πόρον κελεύθου μακρᾶς,	le trajet d'un chemin long,
Παρθενοπαῖος Ἀρκάς.	Parthénopée l'Arcadien.
Ὁ δὲ ἀνὴρ τοιόσδε, μέτοικος,	Mais cet homme tel, étranger,
ἐκτίνων δὲ Ἄργει	mais acquittant envers Argos
καλὰς τροφάς,	*le prix* d'une belle éducation,
ἀπειλεῖ τοῖσδε πύργοις,	menace ces tours-ci,
ἃ θεὸς μὴ κράνοι.	de-choses-qu'un dieu n'accomplisse [pas.
ΕΤΕΟΚΛΗΣ. Εἰ γὰρ τύχοιεν	ÉTÉOCLE. Car s'ils obtenaient
πρὸς θεῶν ὧν φρονοῦσι,	des dieux le-*prix*-de ce-qu'-ils pensent,
ἐκείνοις κομπάσμασιν	avec-ces bravades
ἀνοσίοις αὐτοῖς	impies elles-mêmes,
ἦ τοι ἂν ὀλοίατο	certes ils périraient
πανώλεις	entièrement détruits
παγκάκως τε.	et tout-à-fait-malheureusement.
Καὶ τῷδε δὲ,	Mais pour celui-ci aussi,
ὃν λέγεις τὸν Ἀρκάδα,	que tu dis l'Arcadien,
ἐστὶν ἀνὴρ ἄκομπος,	est un homme sans-jactance
(χεὶρ δὲ ὁρᾷ τὸ δράσιμον),	(mais *sa*-main voit l'efficace),
Ἄκτωρ, ἀδελφὸς	Actor, frère
τοῦ λελεγμένου πάρος,	de celui dit auparavant,
ὃς οὐκ ἐάσει γλῶσσαν	lequel ne laissera pas *cette*-langue
ῥέουσαν ἔξω πυλῶν,	se-répandant hors-de-*ses*-barrières,
ἄτερ ἐργμάτων,	sans obstacles,
ἀλδαίνειν κακά·	augmenter *nos* maux;

οὐδ' εἰσαμεῖψαι θηρὸς ἐχθίστου δάκους
εἰκὼ φέροντα πολεμίας ἐπ' ἀσπίδος·
ἢ 'ξωθεν[1] εἴσω τῷ φέροντι μέμψεται, 545
πυκνοῦ κροτησμοῦ τυγχάνουσ' ὑπὸ πτόλιν
Θεῶν θελόντων τᾶν ἀληθεύσαιμ' ἐγώ.

ΧΟΡΟΣ.

(Στροφὴ γ'.)

Ἰκνεῖται λόγος διὰ στηθέων,
τριχὸς δ' ὀρθίας πλόκαμος ἵσταται,
μεγάλα μεγαληγόρων κλυούσα 550
ἀνοσίων ἀνδρῶν.
Εἴθε γὰρ θεοὶ
τούσδ' ὀλέσειαν ἐν γᾷ.

ΑΓΓΕΛΟΣ.

Ἕκτον λέγοιμ' ἂν ἄνδρα σωφρονέστατον,
ἀλκήν τ' ἄριστον μάντιν, Ἀμφιάρεω βίαν· 555
Ὁμολωΐσιν[2] δὲ πρὸς πύλαις τεταγμένος
κακοῖσι βάζει πολλὰ Τυδέως βίαν,
τὸν ἀνδροφόντην, τὸν πόλεως ταράκτορα,
μέγιστον Ἄργει τῶν κακῶν διδάσκαλον,
Ἐριννύος κλητῆρα, πρόσπολον φόνου, 560
κακῶν τ' Ἀδράστῳ τῶνδε βουλευτήριον·
καὶ τὸν σὸν αὖθις προσμολὼν[3] ἀδελφεὸν,
ἐξυπτιάζων ὄνομα, Πολυνείκους βίαν,
δίς τ' ἐν τελευτῇ τοὔνομ' ἐνδατούμενος,

sur son bouclier, jusque dans nos murs, l'image d'un monstre, horreur des Thébains. Percée de mille coups au pied de nos remparts, cette image deviendra la honte et l'opprobre de celui qui la porte. Veuillent les dieux vérifier ma prédiction!

LE CHOEUR. Ce que j'entends me pénètre d'horreur; mes cheveux se hérissent aux insolentes menaces de ces impies blasphémateurs. Fasse le ciel qu'ils trouvent ici leur perte!

L'ENVOYÉ. Le sixième chef est le sage et courageux devin Amphiaraüs. Destiné à l'attaque de la porte Homoloïde, tantôt c'est Tydée qu'il maudit, Tydée l'homicide, le perturbateur de l'État, l'auteur de tous les maux d'Argos, le provocateur d'Erinnys, le ministre de la mort, le perfide conseiller d'Adraste; tantôt c'est ton propre frère, Polynice, dont il décompose le nom, le divisant en deux, et proférant

οὐδὲ φέροντα	ni celui-qui-porte
ἐπὶ ἀσπίδος πολεμίας	sur un bouclier ennemi
εἰκὼ θηρὸς	l'image d'une bête
δάκους ἐχθίστου·	monstre le-plus-odieux :
ἢ τυγχάνουσα	elle rencontrant
κροτησμοῦ πυκνοῦ	des coups nombreux
ὑπὸ πτόλιν ἔξωθεν	sous *les murs de* la-ville en-dehors
μέμψεται	se-plaindra
τῷ φέροντι εἴσω	à-celui-qui-*la*-porte en-dedans.
Θεῶν θελόντων	Les dieux *le*-voulant,
ἐγώ τοι ἂν ἀληθεύσαιμι.	moi certes je dirais-vrai.
ΧΟΡΟΣ. Λόγος	LE CHOEUR. *Ces* paroles
ἱκνεῖται διὰ στηθέων,	viennent à-travers *ma*-poitrine,
πλόκαμος δὲ τριχὸς ὀρθίας	et les boucles de *mes* cheveux dressés
ἵσταται, κλυούσα	se-lèvent, à-*moi*-entendant
μεγάλα ἀνδρῶν ἀνοσίων	les-insolences d'hommes impies
μεγαλῃγόρων.	aux paroles-insolentes.
Εἴθε γὰρ θεοὶ	Ah ! si les dieux
ὀλέσειαν τούσδε ἐν γᾷ.	perdaient ceux-ci sur-*cette*-terre !
ΑΓΓΕΛΟΣ. Λέγοιμι ἂν	L'ENVOYÉ. Je dirai
ἕκτον ἄνδρα σωφρονέστατον,	le sixième homme très-sage,
μάντιν τε ἄριστον ἀλκὴν,	et devin très-bon-au-combat,
βίαν Ἀμφιάρεω·	la force d'Amphiaraüs ;
τεταγμένος δὲ	or ayant-été-placé
πρὸς πύλαις Ὁμολωΐσιν,	à-la-porte Homoloïde,
βάζει πολλὰ	il adresse-beaucoup-*de-paroles*
κακοῖσι	avec-des-injures
